ώτας ποιήσειεν ἐπιγνώσκ(ων). ὅθεν εἴ τις τῇ αὐτῇ προαιρέσει τῇ θρησκείᾳ τῶν θεῶν ἐπιγνωστέον προσλάβοι, τούτους ὑποδέξασθαι προσήκει· εἰ δέ τινες τὴν ἰδίαν θρησκείαν ἀκολουθεῖν βούλοιντο, ἐν τῇ αὐτῶν ἐξουσίᾳ καταλίποις· διόπερ ἡ σὴ καθοσίωσις τὸ ἐπιτραπέν σοι διαφυλάττειν ὀφείλει· καὶ μηδενὶ ἐξουσία δοθῇ, ὡς τοὺς ἡμετέρους ἐπαρχιώτας ὕβρεσι καὶ σεισμοῖς ἐπιτρίψαι· ὁπότε ὥσπερ προγέγραπται, τοῖς προτρεπτικοῖς μᾶλλον καὶ ταῖς κολακείαις πρὸς τὴν τῶν θεῶν θρησκείαν τοὺς ἡμετέρους ἐπαρχιώτας προσήκει ἀνακαλεῖν· ἵνα δὲ αὕτη ἡμῶν ἡ κέλευσις εἰς γνῶσιν πάντων τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων ἔλθῃ, διατάγματι ὑπὸ σοῦ προτεθέντι, τὸ κεκελευσμένον ὀφείλεις δηλῶσαι:

ταῦθ' ὑπὸ τῆς ἀνάγκης ἐκβιασθεὶς, ἀλλ' οὐ κατὰ γνώμην τὴν αὐτοῦ διακελευσάμενος, οὐκέτ' ἀληθὴς οὐδ' ἀξιόπιστος παρὰ πᾶσιν ἦν, τῆς πρόσθεν ἤδη μετὰ τὴν ὁμοίαν συγχώρησιν παλιμβόλου καὶ διεψευσμένης αὐτοῦ γνώμης ἕνεκα· οὔκουν ἐτόλμα τις τῶν ἡμετέρων σύνοδον συγκροτεῖν, οὐδ' αὐτὸν ἐν φανερῷ καθίστασθαι· ὅτι μηδὲ τοῦτ' ἤθελεν αὐτῷ τὸ γράμμα· αὐτὸ μόνον τὸ ἀνεπηρέαστον ἡμῖν ἐπιτρέπον φυλάττεσθαι· οὐ μὴν συνόδους ἐπιτελεῖν ποιεῖσθαι· οὐδ' οἴκους ἐκκλησιῶν οἰκοδομεῖν· οὐδ' ἄλλο τι τῶν συνήθων ἡμῖν διαπράττεσθαι· καίτοιγε ταῦθ' οἱ τῆς εἰρήνης καὶ εὐσεβείας προήγοροι, Κωνσταντῖνος καὶ Λικίνιος, αὐτῷ τε ἐπιτρέπειν ἐπεστάλκεσαν· καὶ τοῖς ὑπ' αὐτοὺς ἅπασι διὰ προγραμμάτων καὶ νόμων συγκεχωρήκεσαν· οὐ μὴν ὅ γε δυσσεβέστατος ταύτῃ ἐνδοῦναι προῄρητο, εἰ μὴ ὅτε πρὸς τῆς θείας ἐλαθεὶς δίκης, ὕστερον γε ἄκων, ἐπὶ τοῦτ' ἤχθη·

κ περιήλαθε δ' αὐτὸν τοιαῦται αἰτίαι· τὸ μέγεθος τῆς οὐ κατ' ἀξίαν ἐπιτραπείσης ἡγεμονίας αὐτῷ μὴ καθοσίως φέρειν, ἀλλὰ δι' ἀπειρίαν σώφρονος καὶ βασιλικοῦ λογισμοῦ ἀπειροκάλως τοῖς πράγμασιν ἐγχειρῶν, ἐπὶ πᾶσί τε ὑπερηφάνῳ μεγαλαυχίᾳ τὴν ψυχὴν ἀλόγως ἀρθείς· ἤδη καὶ κατὰ τῶν τῆς βασιλείας κοινωνῶν, τὰ πάντα αὐτοῦ διαφερόντων γένει καὶ τροφῇ καὶ παιδείᾳ, ἀξιώματί τε καὶ συνέσει, καὶ τῷ γε πάντων κορυφαιοτάτῳ σωφροσύνῃ, καὶ τῇ περὶ τὸν ἀληθῆ θεὸν εὐσεβείᾳ, τολμᾶν ὥρμητο θρασύνεσθαι· καὶ πρῶτον ἑαυτὸν ταῖς τιμαῖς ἀναγορεύειν· ἐπιτείνας δ' εἰς ἀπόνοιαν τῆς μανίας, συνθήκας ἃς πρὸς Λικίνιον πεποίητο παρασπονδήσας, πόλεμον ἄσπονδον ἐγείρεται· εἶτ' ἐν βραχεῖ τὰ πάντα κυκήσας, πᾶσάν τε πόλιν ἐκταράξας, καὶ πᾶν στρατόπεδον μυριάδας τὸ πλῆθος ἀμη